σίκλων ὁλκὴ χαλκοῦ καὶ αὐτὸς περιεζωσμένος κορύνην, καὶ διενο-
εῖτο πατάξαι τὸν Δαυιδ. [17]καὶ ἐβοήθησεν αὐτῷ Αβεσσα υἱὸς Σα- 17
ρουιας καὶ ἐπάταξεν τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν αὐτόν. τότε
ὤμοσαν οἱ ἄνδρες Δαυιδ λέγοντες Οὐκ ἐξελεύσῃ ἔτι μεθ᾽ ἡμῶν εἰς
πόλεμον καὶ οὐ μὴ σβέσῃς τὸν λύχνον Ισραηλ. — [18]καὶ ἐγενήθη 18
μετὰ ταῦτα ἔτι πόλεμος ἐν Γεθ μετὰ τῶν ἀλλοφύλων. τότε ἐπά-
ταξεν Σεβοχα ὁ Ασταθωθι τὸν Σεφ τὸν ἐν τοῖς ἐκγόνοις τοῦ Ραφα. —
[19]καὶ ἐγένετο ὁ πόλεμος ἐν Γοβ μετὰ τῶν ἀλλοφύλων. καὶ ἐπά- 19
ταξεν Ελεαναν υἱὸς Αριωργιμ ὁ Βαιθλεεμίτης τὸν Γολιαθ τὸν Γεθ-
θαῖον, καὶ τὸ ξύλον τοῦ δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων. —
[20]καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γεθ. καὶ ἦν ἀνὴρ μαδων, καὶ οἱ δά- 20
κτυλοι τῶν χειρῶν αὐτοῦ καὶ οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ ἓξ καὶ
ἕξ, εἴκοσι τέσσαρες ἀριθμῷ, καί γε αὐτὸς ἐτέχθη τῷ Ραφα. [21]καὶ 21
ὠνείδισεν τὸν Ισραηλ, καὶ ἐπάταξεν αὐτὸν Ιωναθαν υἱὸς Σεμεϊ
ἀδελφοῦ Δαυιδ. — [22]οἱ τέσσαρες οὗτοι ἐτέχθησαν ἀπόγονοι τῶν 22
γιγάντων ἐν Γεθ τῷ Ραφα οἶκος, καὶ ἔπεσαν ἐν χειρὶ Δαυιδ καὶ
ἐν χειρὶ τῶν δούλων αὐτοῦ.

[1]Καὶ ἐλάλησεν Δαυιδ τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης 22
ἐν ᾗ ἡμέρᾳ ἐξείλατο αὐτὸν κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν
αὐτοῦ καὶ ἐκ χειρὸς Σαουλ, [2]καὶ εἶπεν 2

Κύριε, πέτρα μου καὶ ὀχύρωμά μου καὶ ἐξαιρούμενός με ἐμοί,
[3]ὁ θεός μου φύλαξ ἔσται μου, πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ, 3
ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου,
ἀντιλήμπτωρ μου καὶ καταφυγή μου σωτηρίας μου,
ἐξ ἀδίκου σώσεις με.
[4]αἰνετὸν ἐπικαλέσομαι κύριον 4
καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.
[5]ὅτι περιέσχον με συντριμμοὶ θανάτου, 5
χείμαρροι ἀνομίας ἐθάμβησάν με·

16 ολκη $BO^{247}$] -κης A mu., > L† || 17 ισραηλ] μου A† || 18 γεθ BO] γαζεθ L†, γαρζερ uel γαρζελ uel sim. pl.: cf. Par. I 20 4 γαζερ | σεβοχα Ra.] σεβ. B†, σεβοχαει O, σοβεκχι L† | αστατωθ(ε)ι $B^{(†)}$] ασατωθει $O^{247}$†, αουσαστωνθει A†, χετταιος L† et Ioseph. Antiq. VII 301 Niese | τον σεφ — fin. BO] τους επισυνηγμενους απογονους(L† των απογονων) των γιγαντων pl. | σεφ] σεφε A†, σεφα $O^{247}$† || 19 ο 1° $BO^{(†)}$] ετι L pl. | γοβ O†] ροβ L pl., ρομ B† | αριωργ(ε)ιμ $BO^{(†)}$] ιαδδειν uel sim. L†, αρωρι mu. | ο βαιθλ.] υιου του ελεμι L† | βαιθλεεμιτης] βηθλ. A: cf. Ruth 1 1; μμ pro μ B† | γολιαθ] γοδολιαν $B^{(†)}$ | γεθθαιον] χετταιον $B^{(†)}$ || 20 μαδων BA†] pr. εκ rel., εκ ρααζης L† | αυτος] ουτος OL† || 21 σεμε(ε)ι BO] σαμαα L†, σαμα pl.: cf. 13 3. 32 I 16 9 || 22 ετεχθ. > A† | εν γεθ τω ρ. οικος] τω ρ. εν γ. O, των εν γ. τω οικω ρ. L†

22 1 η ημερα] tr. AL || 2 κυριε] pr. inscr. ωδη B; cf. Ps. 17 || 3 φυλαξ εσται μου] φ. μου ε. μοι $B^c$ | φυλαξ] πλαστης L†: item in 23 3, cf. 22 47 L† ο πλασας με pro ο φυλαξ μου || 5 χειμαρροι BA†] pr. και rel.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/665 UNIVERSITÄT LEIPZIG